24/08/2025

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΙΑ΄ Ματθαίου

/ Ορθόδοξες Προβολές

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής ΙΑ΄ Ματθαίου: Ματθ. ιη΄ 23-35 (24-08-2025)

Εἶπεν ὁ Κύριος την παραβολήν ταύτην· Ωμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· κύριε, μακροθύμησον ἐπ᾽ ἐμοὶ καὶ πάντα σοι ἀποδώσω. σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν αὐτὸν καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε λέγων· ἀπόδος μοι εἴ τι ὀφείλεις. πεσὼν οὖν ὁ

σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ παρεκάλει αὐτὸν λέγων· μακροθύμησον ἐπ᾽ ἐμοὶ καὶ ἀποδώσω σοι. ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον.

ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα, καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν πάντα τὰ γενόμενα. τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ· δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με. οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ. Οὕτω καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

Απόδοση σε νεολληνική το Ευαγγέλιο της Κυριακής ΙΑ΄ Ματθαίου

Είπε ο Κύριος την παραβολή αυτή· Γι’ αυτό, η βασιλεία των ουρανών είναι όμοια μ’ ένα βασιλιά, που θέλησε να ξεκαθαρίσει τους λογαριασμούς του με τους δούλους του. Κι όταν άρχισε το ξεκαθάρισμα των λογαριασμών, του έφεραν έναν οφειλέτη που του χρωστούσε δέκα χιλιάδες τάλαντα. Κι επειδή δεν είχε να τα πληρώσει, διέταξε ο κύριός του να πουληθούν αυτός και η γυναίκα του και τα παιδιά του κι όλα όσα είχε ώστε να πληρωθεί το χρέος. Έπεσε, τότε, ο δούλος κι άρχισε να τον προσκυνά λέγοντας: Κύριε, δείξε μου μακροθυμία και θα σου τα ξεπληρώσω όλα. Κι επειδή τον σπλαχνίστηκε το δούλο εκείνο ο κύριός του, τον άφησε ελεύθερο και του χάρισε το δάνειο. Βγαίνοντας όμως έξω ο δούλος εκείνος, βρήκε έναν από τους συνδούλους του που του χρωστούσε εκατό δηνάρια. Τον έπιασε τότε και τον έπνιγε λέγοντάς του: Ξόφλησέ μου ό,τι μου χρωστάς. Έπεσε, λοιπόν, ο σύνδουλός του στα πόδια του και τον παρακαλούσε λέγοντας: Δώσε μου κάποια πίστωση χρόνου, και θα σου το ξοφλήσω. Εκείνος όμως δεν ήθελε κι έτσι πήγε και τον έριξε στη φυλακή, ώσπου να ξοφλήσει το χρέος.

Μα όταν είδαν οι σύνδουλοί του τι έγινε, λυπήθηκαν πάρα πολύ και πήγαν και διηγήθηκαν με κάθε λεπτομέρεια στον κύριό τους όλα όσα έγιναν. Τότε τον κάλεσε ο κύριός του και του λέει: Πονηρέ δούλε! Όλο εκείνο το χρέος σού το χάρισα επειδή με παρακάλεσες. Δεν όφειλες λοιπόν να σπλαχνιστείς κι εσύ το σύνδουλό σου, όπως σε σπλαχνίστηκα εγώ; Και οργίστηκε ο κύριός του και τον παρέδωσε στους βασανιστές, ώσπου να ξοφλήσει όλα όσα του χρωστούσε. Το ίδιο θα κάνει και ο Πατέρας μου ο ουράνιος σ’ εσάς, αν δε συγχωρήσετε ο καθένας σας στον αδελφό του, μέσα από την καρδιά του, τα παραπτώματά τους.